ὀτοτοτοτοῖ,
μᾶ Γᾶ μᾶ Γᾶ βοὰν
φοβερὸν ἀπότρεπε,
ὦ βᾶ Γᾶς παῖ Ζεῦ.

Κη. εἰ μή τις ἐς ναῦν εἶσιν αἰνέσας τάδε,
λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ.
Χο. ἰὼ πόλεως ἀγοὶ πρόμοι, δάμναμαι.
⟨Κη.⟩ πολλοὺς ἄνακτας, παῖδας Αἰγύπτου, τάχα
ὄψεσθε· θαρσεῖτ', οὐκ ἐρεῖτ' ἀναρχίαν.
⟨Χο.⟩ διωλόμεσθ'· ἄεπτ', ἄναξ, πάσχομεν.
Κη. ἕλξειν ἔοιχ' ὑμᾶς ἐπισπάσας κόμης,
ἐπεὶ οὐκ ἀκούετ' ὀξὺ τῶν ἐμῶν λόγων.
Βα. οὗτος, τί ποιεῖς; ἐκ ποίου φρονήματος
ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα;
ἀλλ' ἦ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν;
κάρβανος ὢν Ἕλλησιν ἐγχλίεις ἄγαν·
καὶ πόλλ' ἁμαρτὼν οὐδὲν ὤρθωσας φρενί.
Κη. τί δ' ἠμπλάκηται τῶνδ' ἐμοὶ δίκης ἄτερ;
Βα. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι.
Κη. πῶς δ' οὐχί; τἄμ' ὀλωλόθ' εὑρίσκων ἄγω.
Βα. ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις;
Κη. Ἑρμῇ, μεγίστῳ προξένων, μαστηρίῳ.
Βα. θεοῖσιν εἰπὼν τοὺς θεοὺς οὐδὲν σέβῃ.
Κη. τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι.